

ΕΛΛΗΝΙΚΟΝ ΛΕΞΙΚΟΝ ΔΙ᾽ ΕΙΚΟΝΩΝ ΗΡΜΗΝΕΥΜΕΝΟΝ


ΤΟ ΑΝΘΡΩΠΙΝΟΝ ΣΩΜΑ (Ι)

 τοῦτό ἐστιν ἀνθρώπινον σῶμα. ἐν δὲ τῇ εἰκόνι ὁρᾷς τὰ μέγιστα μέρη τοῦ σώματος· κεφαλή (1), θώραξ (2), βραχίονες (3), σκέλη (4). ἡ δὲ κεφαλὴ ἐπὶ τοῦ θώρακός ἐστιν. βραχίονας καὶ σκέλη κῶλα λέγομεν. δύο δὲ βραχίονας ὁρᾷς· τὸν ἀριστερὸν βραχίονα καὶ τὸν δεξιὸν βραχίονα. οἱ δὲ βραχίονές εἰσι κῶλα δι᾽ ὧν δουλεύομεν. ὁρᾷς δὲ καὶ δύο σκέλη · τὸ ἀριστερὸν σκέλος καὶ τὸ δεξιὸν σκέλος. τὰ δὲ σκέλη ἐστι κῶλα δι᾽ ὧν βαδίζομεν. τὰς δὲ σκέλη καὶ κνήμας ὀνομάζομεν.	ἀνθρώπινος βραχίων, ὁ θώραξ, ὁ καρδία, ἡ κεφαλή, ἡ κνήμη, ἡ κῶλον, τὸ μέρος, τό σκέλος, τὸ σῶμα, τό
 ἐνταῦθα δ᾽ ὁρᾷς τὰ μέγιστα μέρη τῆς κεφαλῆς. ἐπὶ δὲ τῆς κεφαλῆς αἱ τρίχες εἰσίν. οὐ μία θρίξ (1) ἀλλὰ πολλαὶ τρίχες εἰσὶν ἐπὶ τῆς κεφαλῆς. τὸ μὲν τετριχωμένον μέρος τῆς κεφαλῆς κόμην (2), τὸ δὲ μὴ τετριχωμένον πρόσωπον (3) λέγομεν. τὸ μὲν ἔμπροσθεν τοῦ τετριχωμένου μέρους λέγομεν βρέγμα (4), τὸ δὲ ὄπισθεν ἰνίον (5). τὸ δὲ ἑκατέρωθεν τοῦ βρέγματος κρόταφοι (6) λέγονται. τὰς δὲ τρίχας τὰς κατὰ τὸ ἰνίον ὀνομάζομεν χαίτας (7). ἡ δὲ κεφαλὴ ἐπὶ τοῦ τραχήλου ἐστίν (8). 	βρέγμα, τὸ θρίς τριχός, ἡ (τετριχωμένος) ἰνίον, τὸ κόμη, ἡ κρόταφος, ὁ πρόσωπον, τὸ τράχηλος, ὁ χαίτη, ἡ
 οὗτος ὁ γέρων φαλακρός (1) ἐστιν. φαλακρός γὰρ ἐστιν ὁ τρίχας ἐπὶ τῆς κεφαλῆς μὴ ἔχων. οἱ δὲ γέροντες ὡς ἐπὶ τὸ πολύ φαλακροί εἰσιν. τὸν δὲ φαλακρὸν καὶ ψιλὸν λέγομεν. τούτῳ δὲ τῷ γέροντι γένειον (2) καὶ μύσταξ (3) εἰσίν. γένειον μὲν λέγομεν τὰς ἐπὶ τοῦ πώγωνος τρίχας, μύστακα δὲ τὰς ὑπὸ τῇ ῥινί τρίχας.	γένειον, τὸ μύσταξ, ὁ φαλακρός ψιλός




οὗτος ὁ νεανίας κομᾷ, κομήτης γάρ ἐστιν. κομήτης ἐστὶν ὁ μεγάλην τὴν κόμην ἔχων. οἱ δὲ νέοι καὶ αἱ γυναῖκες ὡς ἐπὶ τὸ πολύ κομήται εἰσίν.

κομᾶν
κομήτης




ἐν δὲ τῇ εἰκόνι ταύτῃ πρόσωπον (1) ὁρᾷς. ἐν δὲ μέσῳ τοῦ προσώπου ἡ ῥίς (2) ἐστιν καὶ τὸ ὑποκείμενον μέρος στόμα (3) ὀνομάζομεν. ἐπὶ δὲ τῆς ῥινὸς οἱ δύο ὀφθαλμοί (4) εἰσιν. μέτωπον (5) δὲ λέγομεν τὰ ἐπικείμενα τοῖς ὀφθαλμοῖς. τὸ γὰρ μέτωπον μεταξὺ τῶν δυοῖν κροτάφων ἐστίν.

μέτωπον, τὸ
ὀφθαλμός, ὁ
πρόσωπον, τὸ
ῥίς ῥινός, ἡ
στόμα, τὸ




τοῦτ᾽ ἔστιν ὀφθαλμός (1). δύο δ᾽εἰσὶν οἱ ὀφθαλμοὶ καὶ ὑπὸ τῶν ὀφρύων (2) ὑπόκεινται. λέγω δὲ σοι τὰ τοῦ οφθαλμοῦ μέρη· βλέφαρα (3) δὲ τὰ σκέποντα τοὺς ὀφθαλμούς ἐστιν. δύο δὲ τὰ βλέφαρα· τὸ μὲν ἄνωθεν τὸ δὲ κάτωθεν τοῦ ὀφθαλμοῦ. βλεφαρίδες (4) τρίχες εἰσίν, αἳ ἐκ ἄκρων τῶν βλεφάρων ἐκφύονται. εἰκότως οὖν δισσοὶ καὶ αἱ βλεφαρίδες, ἅτε ἐκ τῶν δυοῖν βλεφάρων ἐκφυόμεναι. κόρη (5) δὲ λέγεται τὰ ἐν μέσῳ τοῦ ὀφθαλμοῦ, διὰ ἧς ὁρῶμεν. τὴν δὲ κόρην καὶ γλήνην λέγομεν ἐστιν ὅτε. ἶρις (6) δὲ λέγεται τὸν κύκλον τὸν τὴν κόρην περιέχοντα. ἡ δ᾽ ἶρις μέλαινα, γλαυκή, χαροπή ἐστιν ἀπὸ τῆς χροίας. τὰ δὲ ἄλλα τοῦ ὀφθαλμοὺ λευκὸν (7) ὀνομάζομεν. τὰ δ᾽ ὑπὸ τοῦ ὀφθαλμοῦ ὑπώπιόν (8) ἐστιν.

ὀφθαλμός, ὁ
βλεφαρίς, ἡ
βλέφαρον, τὸ
λευκόν, τὸ
ἶρις, ἡ
κόρη, ἡ
ὀφρύς, ἡ
ὑπώπιον, τὸ




ἐνταῦθα ὁρᾷς τὸ κάτω μέρος τοῦ προσώπου. ὑπὸ τῶν ὀφθαλμῶν ἡ ῥίς (1) ἐστιν, δι᾽ ἧς ὀσφραινόμεθα. τὰ δύο τῆς ῥινὸς κοιλώματα, δι᾽ ὧν ἡ ὄσφρησις γίγνεται, μυκτῆρες (2) ὀνομάζεται. τὰ δὲ τοὺς μυκτῆρας περιέχοντά ἐστι πτερύγια (3). ὑπὸ δὲ τῆς ῥινὸς τὰ δύο χείλη (4) ἐστίν. πρόχειλα (5) δὲ λέγεται ἄκρα τὰ χείλη. λέγομεν δὲ μῆλα (6) ἢ παρειάς (6) τὰς παρὰ ἑκατέρωθεν τῆς ῥινὸς ἐπαναστάσεις, δι᾽ ὧν ἐρυθριῶμεν. στόμα (7)

γένειον, τὸ
ῥίς ῥινός, ἡ
μῆλον, τὸ
μυκτήρ, ὁ
παρειά, ἡ
πρόχειλον, τὸ
πτερίγιον, τὸ
στόμα, τὸ
χεῖλος, τὸ

<table>
<tr>
<td>δὲ λέγομεν τὴν τῶν χειλῶν τομήν καὶ τὰ ἔνδον μεχρὶ τῆς φάρυγγος. ὑπὸ δὲ τοῦ στόματος τὸ γένειόν (8) ἐστιν. μένμησο δ᾽ ὅτι γένειον λέγομεν καὶ τὰς ἐπὶ τούτῳ τρίχας. τὸν δὲ γένειον καὶ πώγωνα λέγομεν.</td>
<td></td>
</tr>
<tr>
<td>



νῦν δὲ ὁρᾷς τὰ ἔνδον τοῦ στόματος· ἐνταῦθα ἄλλα ἐστι καὶ οἱ ὀδόντες (1, 2, 3, 4). ὁ δ᾽ ὀδοὺς ὀστοῦν ἐστιν. τῶν δὲ ὀδόντων οἱ μὲν τομεῖς (1), οἱ δὲ κυνοδόντες (2), οἱ δὲ μύλαι (3) καλοῦνται. τοὺς δ᾽ ἐσχάτους τῶν ὀδόντων σωφρονιστῆρας (4) λέγομεν ὅτι ἡνίκα ἤδη φρονοῦμεν φύονται. τὴν δὲ σάρκα τὴν τοὺς ὀδόντας περιέχουσαν οὐλήν (5) ὀνομάζομεν. ἡ δὲ γλῶττα (6) μεχρὶ τῆς φάρυγγος (7) ἐκτείνεται. ὑπὸ δὲ τῆς φάρυγγός ἐστιν ἡ τραχεῖα ἀρτηρία (8) μεχρὶ τῶν πνευμόνων καθήκουσα. ἐπιγλωττίς (9) δὲ λέγεται τὸ ἐπὶ τῆς τραχείας ἀρτηρίας πῶμα τὸ τὴν τροφὴν κωλῦον ἀπὸ τῶν πνευμόνων ὅταν καταπίνωμεν. ὅταν δὲ ἀναπνέωμεν, μετέωρόν ἐστιν ἡ ἐπιγλωττίς ἵνα μὴ κωλύῃ τὴν τοῦ πνεύμονος ἄνοδον.



τὸ δὲ ὑπὲρ τῆς γλώττης σαρκῶδες καὶ περιφερὲς οὐρανὸν (10) λέγομεν. τὸ δ᾽ ἐκ τοῦ οὐρανοῦ κατὰ τὰ ἔνδον ἐκκρεμὲς κιονίς (12) ἢ γαργαρεὼν ἢ σταφύλη ἐστίν.
</td>
<td>γλῶττα, ἡ
ἐπιγλωττίς, ἡ
κιονίς, ἡ
μύλη, ἡ
ὀδούς ὀδόντος, ὁ
οὐλή, ἡ
οὐρανός, ὁ
σωφρονιστήρ, ὁ
τομεύς, ὁ
τραχεῖα ἀρτηρία
φάρυγξ, ἡ</td>
</tr>
<tr>
<td>



δύο ὦτά εἰσιν ἐξ ἑκατέρου μέρους τῶν κροτάφων. τὸ μὲν ἐκκρεμὲς καὶ σαρκῶδες τῶν ὠτῶν λοβός (1) ὀνομάζεται, τὸ δὲ χονδρῶδες καὶ ἀνωτάτω πτερύγια (2). τὰ μὲν ἔνδον καὶ περιφερῆ λέγομεν ἕλικας (3), τὸ δὲ ἐν μέσῳ κοῖλον, δι᾽ οὗ ἀκούομεν, κόγχη (4) ὀνομάζεται.
</td>
<td>ἕλιξ, ἡ
κόγχη, ἡ
λοβός, ὁ
οὖς ὠτός, τὸ
πτερίγιον, τὸ</td>
</tr>
</table>

ΕΛΛΗΝΙΚΟΝ ΛΕΞΙΚΟΝ ΔΙ᾽ΕΙΚΟΝΩΝ ΗΡΜΗΝΕΥΜΕΝΟΝ
ΤΟ ΑΝΘΡΩΠΙΝΟΝ ΣΩΜΑ (II)




τὸ μὲν ἔμπροσθεν τοὺ τραχήλου σφαγή (1), τὸ δὲ ὄπισθεν αὐχὴν (2) ὀνόμαζεται. στῆθος (3) δὲ λέγομεν τὸ ἔμπροσθεν τοῦ θώρακος ὑπὸ τῇ σφαγῇ κείμενον. τὸ δε᾽ ἐν μέσῳ τοῦ στήθους στέρνον (4) λέγεται. ἐπὶ δὲ τῷ στήθει σαρκώδεις ἐπαναστάσεις εἰσὶ μαστοὶ (5) λεγόμεναι, ὧν τὰ ἄκρα θηλαῖ (6). τὴν δὲ ὑπὸ τῷ ὤμῳ (7), ἄρθρον βραχίονος καὶ θώρακος ὄντι, κοιλότητα μασχάλην (8) λέγομεν. τὰ δ᾽ ὑπὸ τῆς μασχάλης μεχρὶ τῆς ὀσφύος (9) πλευρὰ (10) καλεῖται. ὄμφαλος (11) μὲν κοιλότης ἐστὶν ἐν μέσῳ τοῦ σώματος, τὸ δὲ ὑποκάτω τοῦ ὀμφάλου μεχρὶ τῶν αἰδοίων (12) ἐφήβαιον (13) ὀνομάζεται. τοῦ δ᾽ ἀνδρὸς τὰ αἰδοῖα εἰς στῆμα (14) διαρεῖται καὶ ὄσχεον (15), ἐν ῷ οἱ δίδυμοί εἰσιν.

αἰδοῖα, τὰ
αὐχήν -ενος, ὁ
δίδυμος, ὁ
ἐφήβαιον, τὸ
θηλή, ἡ
μαστός, ὁ
μασχάλη, ἡ
ὄμφαλος, ὁ
ὄσφυς, ἡ
ὄσχεος, ὁ
πλευρά, ἡ
στῆμα, τὸ
στέρνον, τὸ
στῆθος, τὸ
σφαγή, ἡ
ῶμος, ὁ




τὸ δὲ ὄπισθεν τοὺ θώρακος νῶτος (1) ὀνομάζεται. τὰ μὲν πλατέα ὀστᾶ τὰ ἐπικείμενα τῷ νώτῳ ὠμοπλάται (2) εἰσίν, λέγομεν δὲ ῥάχιν (3) τὸ μεταξὺ τῶν ὠμοπλατῶν διὰ τοὺ νώτου ἀπὸ τῆς κεφαλῆς μεχρὶ τοῦ ὑποσφονδύλου περαῖνον. ὑποσφόνδυλον γάρ ἐστιν τὸ τελευταῖον τῆς ραχέως ὀστοῦν (τὰ δὲ ἄλλα τῆς ραχέως ὀστᾶ σπονδύλους λέγομεν). ἄκρον δὲ τὸ ὑποσφόνδυλον ὀνομάζεται κόκκυξ (4). τὰ δε παρὰ ἑκάτερα τῶν ὀσφύων γλουτοί (5), ἐφ᾽ οἷς στηριζόμεθα καθήμενοι. τοὺς δὲ γλουτοὺς καὶ πυγάς λέγομεν.


γλουτός, ὁ
κόκκυξ -υγος, ὁ
νῶτος, ὁ
πυγή, ἡ
ῥάχις -εως, ἡ
σπόνδυλος, ὁ
ὑποσφόνδυλον, τὸ
ὠμοπλάτη, ἡ



ἐνταῦθα βραχίονα ὁρᾷς. ἐν δὲ μέσῳ τοῦ βραχίονος ἄρθρον ἐστιν ἀγκῶνα (1) λεγόμενον, ἐν ᾧ στηριζόμεθα ἐγκλινόμενοι ἐπὶ τῆς τραπέζης. λέγομεν δὲ καὶ βραχίονα (2) τὸ μέρος τὸ ἀπὸ τοῦ ὤμου (3) μέχρι τοῦ ἀγκῶνος. πῆχυς (4) δ᾽ ἐστι τὸ ἀπὸ τοῦ ἀγκῶνος μεχρὶ τῆς χειρὸς (5) περαῖνον. καρπὸν (6) δὲ λέγομεν τὸ ἄρθρον χειρὸς καὶ πήχεως.


ἀγκών -ῶνος, ὁ
ἄρθρον, τὸ
βραχίων -ονος, ὁ
καρπός, ὁ
πῆχυς -εως, ὁ
χείρ χειρός, ἡ
ὦμος, ὁ





τοῦτ᾽ ἔστι χείρ, ἣ ἐκ μετακαρπίου (1) καὶ δακτύλων (2) συνίσταται. τὸ δε κάτωθεν τοῦ μετακαρπίου κοῖλον ἢ κοτύλην (3) λέγομεν. ὕπτιον μὲν τὴν χεῖρα ἔχομεν ὅταν ἡ κοτύλη αὐτῆς ἄνωθεν ᾖ, πρανὲς δὲ τοὐναντίον, ὥσπερ ἡ ἐν τῇ εἰκόνι χείρ. τῶν δε δακτύλων τὸν μὲν πρῶτον καὶ τῶν ἄλλων τεττάρων ἀφεστηκῶτα μέγαν (4) λέγομεν, τὸν δὲ δεύτερον λιχανόν (5), τὸν δὲ τρίτον μέσον (6), τὸν δὲ τέταρτον παράμεσον (7), τὸν δὲ πέμπτον μικρόν (8). ἔστιν ὅτε τὸν μὲν λιχανὸν καὶ δεικτικὸν, τὸν δὲ μέσον χαριέντως καὶ καταπύγωνα ὀνομάζομεν. αἱ μὲν συγκαμπαὶ αἱ διὰ τῶν δακτύλων κόνδυλοι (9), τὰ δὲ μεταξὺ τῶν κονδύλων σκυταλίδες (10) ὀνομάζονται. ἐν δ᾽ ἄκροις τοῖς δακτύλοις οἱ ὄνυχές εἰσιν (11). ὅτὰν μὲν ἡ χεὶρ συστέλληται πυγμή (12) γίγνεται, ὅταν δὲ ὥσπερ ἐν τῇ εἰκόνι ἐκτείνηται, παλάμη. ταῖς χερσὶν ἐργαζόμεθα, γράφομεν, λαμβάνομεν.

δάκτυλος, ὁ
δεικτικός, ὁ
ὁ καταπύγων, ὁ
κόντυλος, ὁ
κοτύλη, ἡ
λιχανός, ὁ
μέγας, ὁ
μέσος, ὁ
μετακάρπιον, τὸ
μικρός, ὁ
ὄνυξ -υχος, ὁ
παλάμη, ἡ
παράμεσος, ὁ
πυγμή, ἡ
σκυταλίς, ἡ
χείρ χειρός, ἡ






τρία ἄρθρα ἐστὶν ἐν τῷ σκέλει· βουβών (1), γόνυ (2), σφυρόν (3). μεταξὺ δὲ τοῦ βοβῶνος καὶ τοῦ γόνατος ὁ μηρός (4) ἐστιν. κνήμη (5) δὲ λέγομεν τὸ μετὰ τὸ γόνυ μεχρὶ τοῦ σφυροῦ. σφυρόν δ᾽ ἐστιν ἄρθρον τῆς κνήμης τὸ πρὸς τῷ ποδί (6). πτέρνα (7) δὲ λέγεται τὸ ὄπισθεν περιφερὲς τοῦ ποδός, τὸ δὲ μετὰ τοῦτο καλεῖται πεδίον (8), οὗ τὸ ἐπάνω ταρσός (9). πέζα δ᾽ ἐστὶν ἡ πᾶσα θέσις τοῦ ποδός. τοὺς δὲ τοῦ ποδὸς δακτύλους ὁμοίως τοῖς τῆς χειρὸς ὀνομάζομεν.

βουβών, ὁ
γόνυ -ατος, τὸ
κνήμη, ἡ
μηρός, ὁ
πεδίον, τὸ
πέζα, ἡ
πούς ποδός, ὁ
πτέρνα, ἡ
σφυρόν, τὸ
ταρσός, ὁ

ΕΛΛΗΝΙΚΟΝ ΛΕΞΙΚΟΝ ΔΙ᾿ΕΙΚΟΝΩΝ ΗΡΜΗΝΕΥΜΕΝΟΝ


ΤΟ ΑΝΘΡΩΠΙΝΟΝ ΣΩΜΑ (III)




ἐνταῦθα δὲ τὰ ἐνδότερα μέρη τοῦ σώματος ὁρᾷς, τουτέστι, τὰ ἔντερα ἢ σπλάχνα. ἐν δὲ τῇ κεφαλῇ ὁ ἐγκέφαλός (1) ἐστιν. ἐν δὲ τῷ στήθει οἱ πνεύμονες (2) καὶ ἡ καρδία (3) εἰσίν. ταῦτα τὰ ὄργανα τὰ μέχρι τῶν πνευμόνων ἄνω ἔντερα λέγομεν καὶ τῶν κάτω ἐντέρων ὑπὸ τοῦ διαγράγματος χωρίζεται. τὰ οὖν κάτω ἔντερα τὸ ἧπαρ (4), ἡ γαστὴρ (5), οἱ νέφροι (6), τὸ ἔντερόν (7) εἰσιν.

γαστήρ -τρός, ἡ
διάγραγμα, τὸ
ἐγκέκαλος, ὁ
ἔντερα, τὰ
ἔντερον, τὸ
ἧπαρ -ατος, τὸ
καρδία, ἡ
νέφρος, ὁ
ὄργανον, τὸ
πνεύμων -ονος,ὁ
σπλάχνον, τὸ


ἐν δὲ μέσῳ τοῦ στήθους ἡ καρδία ἐστιν. ἡ δὲ καρδία ἐστὶ μῦς, ὃς τὸ αἷμα εἰσδέχεταί τε καὶ πρὸς τὰ ἄλλα ὄργανα παράγει. διαστέλλεται μὲν ἡ καρδία ὅταν τὸ αἷμα δέχηται, συστέλλεται δ’ ὅταν τὸ αἷμα παράγῃ. ταύτην δὲ τὴν τῆς καρδίας διαστολὴν καὶ συστολὴν σφυγμόν λέγομεν. ἀεὶ οὖν σφύζει ἡ καρδία· εἰ μὲν ἡ καρδία ἡμῶν σφύζει, ζῶμεν. εἰ δὲ σφύζουσα παύεται, τεθνήκαμεν.



ἡ καρδία διαιρεῖται εἰς τέτταρα ἀγγεῖα· εἰς δὺο μὲν ὦτα (ὠτὸς γὰρ σχῆμα ἔχουσιν), ἀριστερὸν (1) καὶ δεξιόν (2), εἰς δύο δὲ κοιλίας, ἀριστερὰν (3) καὶ δεξιάν (4). τὸ δὲ αἷμα διὰ μὲν τῆς δεξιοῦ ὠτὸς εἰς τὴν δεξιὰν κοιλίαν εἰσάγεται, διὰ δὲ τῆς πνευματικῆς καλουμένης ἀρτηρίας (5) εἰς τοὺς πνεύμονας φέρεται. ἡ δ’ ἀριστερὰ κοιλία λέγεται καὶ πνευματικὴ κοιλία ὅτι τὸ ἐκ τῶν πνευμόνων αἷμα εἰσδεχομένη διὰ τῆς ἀρτηριώδους φλεβὸς (6) εἰς τὰ ἄλλα ὄργανα παράγει. λέγομεν δὲ περικάρδιον (7) τὸν ὑμένα τὸν ὥσπερ χιτὼν περιλαμβάνοντα ὁλὴν τὴν καρδίαν.




ἀγγεῖον, τὸ
αἷμα, τὸ
ἀρτηρία, ἡ
ἀρτηριώδης
διαστέλλειν
διαστολή, ἡ
κοιλία,ἡ
μῦς μυός, ὁ
οὖς ὠτός, τὸ
περικάρδιος, ὁ
συστέλλειν
συστολή, ἡ
σφυγμός, ὁ
σφύζειν
ὑμήν -ένος, ὁ
φλέψ φλεβός, ἡ



διὰ τί δ᾽ ἡ καρδία εἰς τοὺς πνευμόνας παράγει τὸ αἷμα ; ὅτι τὸ ἐκ τοῦ σώματος εἰς τὴν καρδίαν ἀφικόμενον αἷμα μεμολυμμένον ἐστὶν καὶ δεῖ ἐν τοῖς πνεύμασι καθαρθῆναι. οἱ οὖν πνεύμονες (1) τὴν καρδίαν περιλαμβάνουσιν καὶ εἰς τρεῖς λοβοὺς χωρίζονται· ἄνω (2), μέσον (3) καὶ κάτω λοβόν (4). διὰ δὲ τῆς τραχείας ἀρτηρίας (5) τὸ πνεῦμα (τουτέστι, ὁ εἰς τὸ σῶμα εἰσερχόμενος ἀήρ) εἰς τοὺς πνεύμονας εἰσπνέομέν τε καὶ ἐκ τῶν πνευμόνων ἐκπνέομεν · ταμεῖον γὰρ τοῦ πνεύματος οἱ πνεύμονες. ἐν δὲ τοῖς πνεύμασι ἡ τραχεῖα ἀρτηρία εἰς δύο βρόγχια (6) διαιρεῖται. ἄκρα δε τὰ βρόγχια κλάδου σχῆμα ἔχει. τῷ δὲ ἐν τοῖς βροχίοις πνεύματι καθαίρεται τὸ αἷμα καὶ ἐντεῦθεν εἰς τὴν καρδίαν ἐπιστρέφεται εἰς τὰ ἄλλα ὄργανα παραξόμενον.

βρόγχιον, τὸ
εἰσπνεῖν
ἐκπνεῖν
λοβός, ὁ
πνεῦμα, τὸ
πνεύμων ονος, ὁ


ἡ δὲ τροφῆ διὰ τοῦ εἰσογάφου (1) εἰς τὴν γαστέρα (2) καθίεται. ἡ γαστὴρ περιφερὲς ὄργανόν ἐστι καὶ προμήκες, πεπτικὴν σιτίων δύναμιν ἔχον. ἐν γὰρ τῇ γαστρὶ ἡ πέψις τῆς τροφῆς γίγνεται. ὁ μὲν πάγκρεας (3) ἄλλους χυμοὺς παρέχει εἰς πέψιν τῶν σιτίων χρησίμους, ἡ δὲ χοληδόχος κύστις (4) τὴν χολήν. ἕνεκα δὲ τῆς πέψεως ἡ τροφὴ χυλὸς γίγνεται. ἡ δὲ κεχυλωμένη τροφὴ περαίνει εἰς τὸ ἔντερον (5), ὃ ἀπὸ τῆς γαστρὸς περιελίττεται καὶ εἰς πολλὰς ἑλίκας ἐπικάμπτεται. μεταξὺ δὲ γαστρὸς καὶ ἐντέρου ὁ πυλωρὸς (6) ἐστιν, τουτέστι, αἱ πῦλαι τῆς τροφῆς εἰς τὸ ἔντερον. διαιροῦμεν δὲ τὸ ἔντερον εἰς δύο, λεπτότερον (7) καὶ παχύτερον (8). τὸ μὲν λεπτότερον διαιρεῖται εἰς δυωδέκατον (9), νῆστιν (10), εἰλεόν (11)· τὸ δὲ παχύτερον εἰς τυφλὸν (12) καὶ κῶλον (13). ἄκρον δὲ τὸ κῶλον πρωκτὸν (14) λέγομεν, ᾧ εἰς ἐκβολὴν τοῦ κόπρου χρώμεθα.



γαστήρ -τρός, ἡ
δυοδέκατον, τὸ
εἰλεός, ὁ
εἰσοφάγος, ὁ
ἔντερον, τὸ
κύστις -εως, ἡ
κῶλον, τὸ
κόπρος, ὁ
λεπτότερος
νῆστις -ιος, ἡ
πάγκρεας, ὁ
παχύτερος
πέψις εως, ἡ
πρωκτός, ὁ
πυλωρός, ὁ
τυφλός
χοληδόχος
χολή, ἡ
χυλός, ὁ


ΕΛΛΗΝΙΚΟΝ ΛΕΞΙΚΟΝ ΔΙ᾿ ΕΙΚΟΝΩΝ ΗΡΜΗΝΕΥΜΕΝΟΝ

ΤΟ ΑΝΘΡΩΠΙΝΟΝ ΣΩΜΑ (IV)





τὸ ὀῤῥῶδες τῆς τροφῆς εἰς τοὺς νεφροὺς (1) ῥεῖ καὶ ἐντεῦθεν διὰ τῶν οὐρετήρων (2) εἰς τὴν κύστιν (3) ἀποστάζει καὶ οὖρον γίγνεται. τὸ δε οὖρον ἐκ τῆς κύστεως διὰ τῆς οὐρήθρας (4) ἐκβάλλομεν.

κύστις, ἡ
νεφρός, ὁ
οὐρετῆρ ήρος, ὁ
οὐρήθρα, ἡ
οὖρον, τὸ



ἐνταῦθα ὁρᾷς τὰ ἀνθρώπινα ὀστᾶ, ἃ ὑποβέβληται τῷ λοιπῷ τοῦ σώματος ὥσπερ θεμέλια τινά. σκέλετος (1) δὲ λέγεται ἡ πάντων τῶν ὀστῶν σύνταξις. πολυειδῆ δ᾿ ἐστι τὰ ὀστᾶ· τὰ μὲν γὰρ περιφερῆ (2), τὰ δὲ τετράπλευρα (3) ἢ τρίπλευρα (4), τὰ δὲ στυλοειδῆ (5), τὰ δὲ πυρηνοειδῆ (6), τὰ δὲ ξιφοειδῆ (7). τῶν δὲ ὀστῶν τὰ μὲν μεγάλα κοιλίας ἔχει μυελοῦ (8) μεστάς, τὰ δε μικρὰ πλήρη ἐστὶ ὅλα οὐδεμίαν κοιλότητα ἔχοντα. ταῦτα τὰ ὀστᾶ ἀμύελα λέγομεν.





ἀμύελος
μυελός, ὁ
ξιφοειδής
ὀστοῦν, τὸ
περιφερής
πυρηνοειδής
σκελετός, ὁ
στυλοειδής
τετράπλευρος
τρίπλευρος

ἡ δὲ τῶν ὀστῶν ἕνωσις κατ᾿ ἄρθρον καὶ κατὰ σύμφυσιν γίγνεται. κατὰ μὲν ἄρθρον, ὅταν τῶν δυοῖν ὀστῶν ἕτερος μὲν τελευτᾷ εἰς ἀπόφυσιν περιφερῆ κεφαλὴν (1) καλουμένην, ὁ δ᾿ ἕτερος εἰς κοιλότητα τελευτᾷ κοτύλην (2) λεγομένην, ἣ τὴν κεφαλὴν ὑποδέχεται. τοῖς δὲ τοιούτοις ὀστοῖς χρώμενοι τὰ μέλη κινεῖν δυνάμεθα. κατὰ δὲ σύμφυσιν, ὅταν δεσμὸς τῶν ὀστῶν ἀκίνητος διὰ χόνδρου (3) γίγνηται. ἡ μὲν κατ᾿ ἄρθρον ἕνωσις καὶ διάρθρωσις λέγεται, ἡ δὲ κατὰ σύμφυσιν καὶ συνάρθρωσις.










ἀπόφυσις, ἡ
ἄρθρον, τὸ
διάρθρωσις, ἡ
ἕνωσις, ἡ
κεφαλή, ἡ
κοτύλη, ἡ
σύμφυσις, ἡ
συναρθρωσις, ἡ
χόνδρος, ὁ



τὰ ἐν τῇ κεφαλῇ ὀστᾶ κρανίον λέγομεν. τὸ δὲ κρανίον ἐκ πολλῶν καὶ μικρῶν ὀστῶν συνίσταται καὶ ἐκ δυοῖν γνάθων (1) τε καὶ δυοῖν καὶ τριάκοντα ὀδόντων (2). ἐν δὲ τῇ εἰκόνι ὁρᾷς καὶ τὰς χώρας τῶν ὀφθαλμῶν (3) καὶ τῆς ῥινός (4).



γνάθος, ὁ
κρανίον, τὸ

 ὑπὸ δὲ τῷ κρανίῳ ἡ ῥάχις ἐστιν. ἡ δὲ ῥάχις ἐκ τριῶν καὶ τριάκοντα σπονδύλων (1) συνισταμένη εἰς τέτταρα διαιρεῖται· εἰς τράχηλον, νῶτον, ὀσφὺν, ἱεροῦν ὀστοῦν. ὁ μὲν τράχηλος (2) ὑπὸ τῇ κεφαλῇ ἐστιν. ὁ δὲ πρῶτος καὶ δεύτερος τοῦ τραχήλου σπόνδυλοι ἀνόμοιοι τοῖς ἄλλοις εἰσίν, ἅτε πρὸς κινήσεις τῆς κεφαλῆς χρήσιμοι ὄντες. ὁ οὖν πρῶτος σπόνδυλος τῆς πρὸς τὴν κεφαλὴν διαρθρώσεως χάριν τὸ ἐπινεύειν (3) καὶ ἀνανεύειν (4) ἐγχωρεῖ καὶ ἐπὶ τῷ δευτέρῳ στηριζόμενος περιάγει τὴν κεφαλὴν πρὸς τὰ ἑκάτερα (5). ὑπὸ δὲ τῷ τραχήλῳ ὁ νῶτος (6) τέτακται, τηλικοῦτος ὑπάρχων τὸ μήκος ἡλίκος ὁ θώραξ. ὅσον δὲ ὑπόλοιπον κάτω, τοῦτο ὀσφὺς (7) ὀνομάζεται, κατὰ δὲ τὸ πέρας αὐτοῦ τὸ καλούμενον ἱεροῦν ὀστοῦν (8) ἐστιν. τούτου τὸ ἄκρον ὀστοῦν κόκκυγα (9) λέγομεν.  	ἀνανεύειν ἐπινεύειν ἱεροῦν ὀστοῦν, τὸ νῶτος, ὁ ὀσφύς -υος, ἡ ῥάχις -ιος, ἡ σπόνδυλος, ὁ στηρίζειν τράχηλος, ὁ κόκκυξ -υγος, ὁ
ὁ θώραξ ἐκ πλευρῶν καὶ στέρνου (1) συνίσταται. δώδεκα δ’ εἰσιν αἱ πλευραί, καθάπερ καὶ οἱ κατὰ νῶτον σπόνδυλοι. τὸ δὲ στέρνον ἐν μέσῳ θώρακι κεῖται καὶ σχῆμα ἔχει ξίφει παραπλήσιον. εἰς δὲ τοῦτον ἐκ τῶν σπονδύλων συλλέγονται αἱ πλευραί, οὐ πᾶσαι δὲ, ἀλλὰ ἑπτὰ πλευραὶ ἀληθεῖς (2) λεγόμεναι. αἱ δὲ ἄλλαι πέντε  πλευραὶ νόθαι (3) λέγονται ὅτι τοῦ στέρνου κεχωρισμέναι εἰσίν. τῶν δὲ πλευρῶν οὐχ ἓν οὐδὲ ἁπλοῦν τὸ σχῆμα, αἱ μὲν γὰρ μόνον ἐπὶ τὸ κάτω, αἱ δὲ ἐπὶ τὸ κάτω ἅμα καὶ το πρόσω φέρονται ἀθρόαν ποιούμεναι καμπήν. πρὸς δὲ τούτοις, αἱ ἄνωθεν καὶ κάτωθεν	ἀληθής νόθος πλευρά, ἡ στέρνον, τὸ

πλευραὶ βραχύτεραι τῶν μεσῶν τυγχάνουσι οὖσαι.	
αἱ ὠμοπλάται (1) κεῖνται ὄπισθεν τοῦ θώρακος. τοῦτο τὸ τρίπλευρον καὶ πλατὺ ὀστοῦν ἀπὸ δὲ τῆς βάσεως κατὰ μικρὸν αὐξάνεται μεχρὶ τοῦ ἀκρωμίου (2) λεγομένου, τουτέστι, τὸ ἄκρον μέρος τοῦ ὀστοῦ. τῷ δὲ ἀκρωμίῳ ἡ κλεὶς (3) συναρθροῦται καὶ ἐκτείνεται μεχρὶ τοῦ ἄνω πέρατος τοῦ στέρνου. ὁ δὲ βραχίων (4) στυλοειδὲς ὀστοῦν ἐστιν, ὃ πρὸς τὴν ὠμοπλάτην διαρθροῦται. τὰ δὲ μεταξὺ βραχίονος καὶ χειρὸς ὀστᾶ λέγομεν πῆχυν (5) καὶ κερκίδα (6). ἐν δὲ τῇ χειρὶ τρία εἴδη ὀστῶν ἐστιν· ὁ μὲν καρπός (7), ὃς ἐκ ὀκτὼ μικρῶν καὶ ἀμυέλων ὀστῶν συνίσταται, τὰ δὲ τοῦ μεταρκαρπίου (8)  ὀστᾶ, μεταξὺ τοῦ καρποῦ καὶ τῶν δακτύλων κείμενα, τέλος δὲ τὰ τῶν δακτύλων ὀστᾶ, ἃ φάλαγγας (9) λέγομεν. ἕκαστον οὖν τῶν δακτύλων ἐκ τριῶν φαλάγγων σύγκειται.	ἀκρώμιον, τὸ βραχίων, ὁ καρπός, ὁ κερκίς -ιδος, ἡ κλείς -δός, ἡ μετακάρπιον, τὸ πῆχυς -εως, ὁ φάλαγξ -γος, ἡ ὠμοπλάτη, ἡ
 Αἱ δὲ μεγάλαι ἀποφύσεις αἱ παρὰ τὸ ἱεροῦν ὀστοῦν ἐπὶ μὲν ὅλων ἑαυτῶν ὄνομα οὐδὲν ἔχουσιν, τὰ δὲ ἄνωθεν μέρη τὰ πλατεῖα λαγόνων ὀστᾶ (1) καλεῖται, τὰ δὲ μετὰ ταῦτα ἔξωθεν καὶ κάτωθεν ἰσχίων ὀστᾶ (2) ὀνομάζομεν, τέλος δὲ τὰ δὲ λεπτὰ καὶ διατετρημένα, ἥβης ὀστᾶ (3) λεγόμενα. ἑκατέρῳ δὲ τῶν ἰσχίων ὀστῷ κοτύλη ἐστιν εὐμεγέθης, διάρθωρσις πρὸς τὸ τοῦ μηροῦ ὀστοῦν μάλα ἰσχυρά, ὁ γὰρ μηρὸς (4) μεγίστον ἁπάντων ἐστὶ τῶν κατὰ τὸν ἄνθρωπον ὀστῶν. ἔστι δὲ ὁ μηρὸς ὀστοῦν στυλοειδὲς κυρτὸν μὲν τῷ σχήματι ἐν τοῖς πρόσω καὶ ἔξω, σιμὸν δὲ ἐν τοῖς ὀπίσω καὶ ἔνδον. τὸ γὰρ κατὰ μηρὸν ὀστοῦν κνήμη (5) λέγεται, πὰρα δὲ τήν κνήμην κεῖται ὀστοῦν μικρότερον καὶ πρὸς τὸ ἔξω κείμενον περόνη (6) καλοῦμενον. τὰ δύο ὀστᾶ ταῦτα μεταξὺ γόνατος καὶ ἀστραγάλου ἐστι, γόνυ (7) μὲν γὰρ πρὸς τὸν μηρὸν, ἀστράγαλος (8) δὲ πρὸς τὸν πόδα ἄρθρον ἐστίν.	ἀστράγαλος, ὁ γόνυ -ατος, τὸ ἥβης ὀστᾶ ἰσχίων ὀστᾶ κνήμη, ἡ λαγόνων ὀστᾶ μηρός, ὁ περόνη, ἡ

τᾶ δὲ τοῦ ποδὸς ὀστᾶ ἐκ τάρσου, πεδίου, φάλαγγων σύγκειται. ὁ δὲ τάρσος (1) ἐκ μικρῶν ὀστῶν συνίσταται. τὰ μὲν ἄλλα ἀστράγαλος (2), σκαφοειδὲς (3), κουβοειδὲς (4), σφηνοειδὲς (5) ἐκ τοὺ σχήματος λέγονται, τὸ δὲ  μέγιστον πτέρνα (6) ὀνομάζομεν. μετὰ δὲ τὸ πεδίον (7), ὃ εκ πέντε στυλοειδῶν ὀστῶν συνίσταται, αἱ φάλαγγες (8) εἰσίν. τοῖς δὲ τοῦ ποδὸς δακτύλοις ὁμοίως τοῖς κατὰ τὰς χείρας τρεῖς φάλλαγές εἰσιν, πλὴν γὲ τοῦ μεγάλου δακτύλου. μόνος γὰρ οὗτος ἐκ δυοῖν φαλάγγων σύγκειται.	κουβοειδής πεδίον, τὸ πτέρνα, ἡ σκαφοειδής σφηνοειδής τάρσος, ὁ φάλαγξ -γος, ἡ
 κατὰ μὲν τὰ ἔξω, τῶν ἀνθρώπων οἱ μὲν ἐπίσωμοι (1), οἱ δὲ μικροί καὶ οἱ μὲν καταπίμελοι (2), οἱ δὲ λιπόσαρκοι (3).  οὗτος ὁ ἀνὴρ εὐειδής (4), ἐκεῖνος δὲ δύσμορφος (5). κατὰ δὲ τὰ ἔσω, τῶν ἀνθρώπων οἱ μὲν ῥωμαλέοι (6) τε καὶ εὐέκτεις -εὐεξίαν γαρ λέγομεν τὸ ῥωμαλέως ἔχειν-, οἱ δὲ νοσηματικοί (7).   εὐσθενεῖς γὰρ λέγομεν τοὺς ῥωμαλέως ἔχοντας, ἀσθενεῖς δὲ τοὺς μαλακῶς ἔχοντας.   ...περὶ δὲ τοῦ ΑΝΘΡΩΠΙΝΟΥ ΣΩΜΑΤΟΣ τὸ νῦν γε ἀρκεθησόμεθα τοῖς ῥηθεῖσιν.	ἀσθενής δύσμορφος ἐπίσωμος εὐειδής εὐέκτης εὐεξία, ἡ εὐσθενής καταπίμελος λιπόσαρκος νοσηματικός ῥωμαλέος

ΣΥΝΟΠΤΙΚΟΣ·ΠΙΝΑΞ·ΛΕΞΕΩΝ

Α
ἀγγεῖον, τὸ
ἀγκών -ῶνος, ὁ
αἰδοῖα, τὰ
αἷμα, τὸ
ἀκρώμιον, τὸ
ἀληθής
ἀμύελος
ἀνανεύειν
ἀνθρώπινος
ἀπόφυσις, ἡ
ἄρθρον, τὸ
ἀρτηρία, ἡ
ἀρτηριώδης
ἀσθενής
ἀστράγαλος, ὁ
αὐχήν -ενος, ὁ
Β
βλεφαρίς, ἡ
βλέφαρον, τὸ
βουβών, ὁ
βραχίων -ονος, ὁ
βρέγμα, τὸ
βρόγχιον, τὸ
Γ
γαστήρ -τρός, ἡ
γένειον, τὸ
γλῶττα, ἡ
γνάθος, ὁ
γόνυ -ατος, τὸ
Δ
δάκτυλος, ὁ
δεικτικός, ὁ
διάγραγμα, τὸ
διάρθρωσις, ἡ
διαστέλλειν
διαστολή, ἡ
δίδυμος, ὁ
δυοδέκατον, τὸ
δύσμορφος
Ε
ἐγκέκαλος, ὁ
εἰλεός, ὁ
εἰσοφάγος, ὁ
εἰσπνεῖν
ἐκπνεῖν
ἕλιξ, ἡ
ἔντερον, τὸ
ἕνωσις, ἡ
ἐπιγλωττίς, ἡ
ἐπινεύειν
ἐπίσωμος
εὐειδής
εὐέκτης
εὐεξία, ἡ
εὐσθενής
ἐφήβαιον, τὸ
Η
ἥβης ὀστᾶ
ἧπαρ -ατος, τὸ
Θ
θηλή, ἡ
θρίς τριχός, ἡ
θώραξ, ὁ
Ι
ἱεροῦν ὀστοῦν, τὸ
ἰνίον, τὸ
ἶρις, ἡ
ἰσχίων ὀστᾶ
Κ
καρδία, ἡ
καρπός, ὁ
καταπίμελος
καταπύγων, ὁ
κερκίς -ιδος, ἡ
κεφαλή, ἡ
κιονίς, ἡ
κλείς -δός, ἡ
κνήμη, ἡ
κόγχη, ἡ
κοιλία,ἡ
κόκκυξ -υγος, ὁ
κομᾶν
κόμη, ἡ
κομήτης
κόντυλος, ὁ
κόπρος, ὁ
κόρη, ἡ
κοτύλη, ἡ
κουβοειδής
κρανίον, τὸ
κρόταφος, ὁ
κύστις -εως, ἡ
κῶλον, τὸ
Λ
λαγόνων ὀστᾶ
λεπτότερος
λευκόν, τὸ
λιπόσαρκος
λιχανός, ὀ
λοβός, ὁ
Μ
μαστός, ὁ
μασχάλη, ἡ
μέγας, ὁ
μέρος, τό
μέσος, ὁ
μετακάρπιον, τὸ
μέτωπον, τὸ
μῆλον, τὸ
μηρός, ὁ
μικρός, ὁ
μυελός, ὁ
μυκτήρ, ὁ
μύλη, ἡ
μῦς μυός, ὁ
μύσταξ, ὁ
Ν
νεφρός, ὁ
νῆστις -ιος, ἡ
νόθος
νοσηματικός
νῶτος, ὁ
Ξ
ξιφοειδής
Ο
ὀγλουτός, ὁ
ὀδούς ὀδόντος, ὁ
ὄμφαλος, ὁ
ὄνυξ -υχος, ὁ
ὄργανον, τὸ
ὀστοῦν, τὸ
ὀσφύς -υος, ἡ
ὄσφυς, ἡ
ὄσχεος, ὁ
οὐλή, ἡ
οὐρανός, ὁ
οὐρετῆρ ήρος, ὁ
οὐρήθρα, ἡ
οὖρον, τὸ
οὖς ὠτός, τὸ
ὀφθαλμός, ὁ
ὀφρύς, ἡ
Π
πάγκρεας, ὁ
παλάμη, ἡ
παράμεσος, ὁ
παρειά, ἡ

παχύτερος
πεδίον, τὸ
πέζα, ἡ
περικάρδιος, ὁ
περιφερής
περόνη, ἡ
πέψις εως, ἡ
πῆχυς -εως, ὁ
πῆχυς -εως, ὁ
πλευρά, ἡ
πνεῦμα, τὸ
πνεύμων -ονος,ὁ
πούς ποδός, ὁ
πρόσωπον, τὸ
πρόχειλον, τὸ
πρωκτός, ὁ
πτερίγιον, τὸ
πτερίγιον, τὸ
πτέρνα, ἡ
πυγή, ἡ
πυγμή, ἡ
πυλωρός, ὁ
πυρηνοειδής
Ρ
ῥάχις -εως, ἡ
ῥίς ῥινός, ἡ
ῥωμαλέος
Σ
σκαφοειδής
σκελετός, ὁ
σκέλος, τὸ
σκυταλίς, ἡ
σπλάχνον, τὸ
σπόνδυλος, ὁ
στέρνον, τὸ
στῆθος, τὸ
στῆμα, τὸ
στηρίζειν
στόμα, τὸ
στυλοειδής
σύμφυσις, ἡ
συναρθρωσις, ἡ
συστέλλειν
συστολή, ἡ
σφαγή, ἡ
σφηνοειδής
σφυγμός, ὁ
σφύζειν
σφυρόν, τὸ
σῶμα, τό
σωφρονιστήρ, ὁ
Τ
ταρσός, ὁ
τετράπλευρος
τετριχωμένος
τομεύς, ὁ
τραχεῖα ἀρτηρία
τράχηλος, ὁ
τρίπλευρος
τυφλός
Υ
ὑμήν -ένος, ὁ
ὑποσφόνδυλον, τὸ
ὑπώπιον, τὸ
Φ
φάλαγξ -γος, ἡ
φαλακρός
φάρυγξ, ἡ
φλέψ φλεβός, ἡ
Χ
χαίτη, ἡγένειον, τὸ
χεῖλος, τὸ
χείρ χειρός, ἡ
χολή, ἡ
χοληδόχος
χόνδρος, ὁ
χυλός, ὁ
Ψ
ψιλός
Ω
ὠμοπλάτη, ἡ
ὦμος, ὁ